

# 20 MAI
# CANON DE RUGACIUNE CATRE SF.CUVIOSI NICHITA,IOSIF SI IOAN DE LA HIOS
# VENETIA,1804

www.tezaurliturgic.ro

# ΕΤΕΡΟΣ ΚΑΝΩΝ,

## ΙΚΕΤΗΡΙΟΣ ΚΑΙ ΚΑΤΑΝΥΚΤΙΚΟΣ

### ΕΙΣ ΤΟΥΣ ΟΣΙΟΥΣ ΠΑΤΕΡΑΣ.

Ὠδὴ, α'. Ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

μ. Νῦν πρὸς ὑμᾶς καταφεύγω δοῦλοι Χριστοῦ, καὶ οἰκτρῶς παρίσταμαι, τῇ εἰκόνι τῇ σεπτῇ, ὑμῶν καὶ δουλείας τοῦ ἐχθροῦ, λυτρωθῆναι ἐξαιτοῦμαι δάκρυσιν.

ι. Ἰχνηλατεῖν με Πατέρες τρίβους ὑμῶν, τὰς ἐνθέους δέομαι, ἐγχύσατε καὶ ζῆν, θεαρέστως καὶ θεοφιλῶς, κατὰ ζῆλον τὸν ὑμῶν Θεοῦ θεράποντες.

κ. Κολάσεως αἰωνίου ἡ φοβερὰ, ἀπειλὴ ταράττει μου, τὴν διάνοιαν καὶ γὰρ, ἔργα ταύτης ἄξια ποιῶ, ἀλλ' αὐτοί με ταῖς λιταῖς ὑμῶν λυτρώσασθε.

Θεοτοκίον.

η. Ἡ τὸν Θεὸν συλλαβοῦσα τὸν δι' ἐμὲ, γεγονότα ἄνθρωπον, τοῦτον αἴτησαι ἁγνὴ, ἐν ἡμέρᾳ δίκης τῆς φρικτῆς, οἰκτειρῆσαί με πολλὰ ἡμαρτηκότα αὐτῷ.

Ὠδὴ, γ'. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.

φ. Φεῖσαί μου δέσποτα Χριστὲ, ἐν ἡμέρᾳ τῆς δίκης, ταῖς τῶν σῶν θεραπόντων, ἀπροσδέκτοις προσευχαῖς, καὶ μὴ ἐλέγξῃς θυμῷ καὶ παιδεύσῃς τὰ πολλά μου πταίσματα.

www.tezaurliturgic.ro



α. Οἶδα Πατέρες Ἱεροί, ἐμαυτὸν μολυνθέντα, μολυσμοῖς ἁμαρτίαις, καὶ μὴ ὄντα ἱκανόν, προσβλέπειν τε καὶ ὁρᾷν, τὴν εἰκόνα τὴν ὑμῶν ὁ βέβηλος.

ο. Ῥώμην δοθῆναι καὶ ἰσχύν, τῇ ἐμῇ ἀσθενείᾳ, Θεοφόροι Πατέρες, ἐξαιτοῦμαι παρ' ὑμῶν, ἵνα τὰ θεῖα ποιῶ, τοῦ Σωτῆρος Ἰησοῦ ἐντάλματα. Θεοτ.

υ. Ὄμβρους δακρύων ἀγαθή, δίδου μοι Παναγία, στεναγμούς τε καὶ λύπην, τὴν ἔνθεον καὶ ψυχῇ, κατάνυξιν σωστικήν, ἐμποιοῦσαν τῇ ἐμῇ πρεσβείαις σου.

## Ὠδὴ, δ'. Χριστός μου δύναμις.

υ. Ὕμνον καὶ δέησιν, προσφέρω Ἅγιοι, τῇ ὑμῶν παναχράντῳ παρεστηκώς, εἰκόνι βοῶν ὑμῖν, τὸ κατ' εἰκόνα με Θεοῦ, ἐνισχύσατε τηρήσασθαι.

Ῥύποις ἐρρύπωσα, καὶ κατεσπίλωσα, τῆς ψυχῆς μου τὸ κάλλος ἁμαρτιῶν, καὶ οὐκ εἰμὶ ἄξιος, τὸν χαρακτῆρα καθορᾷν, τὸν ὑμέτερον θεσπέσιοι.

Ὑμᾶς θειότατοι, καὶ ἀσυμπάθητοι, ἱκετεύω Πατέρες, καὶ δυσωπῶ, τοῦ ἀεὶ προΐστασθαι, τῆς παναθλίας μου ψυχῆς, ταῖς εὐχαῖς ὑμῶν πρὸς Κύριον.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Μὴ δείξῃς Δέσποινα, μὴ δείξῃς ξένον με, ξενωθέντα τῆς σκέπης τοῦ σοῦ Υἱοῦ, ὅλον καὶ ἀνάξιον, ἀλλὰ ἀπόπλυνον κἀμὲ ἐκ τοῦ ῥύπου τῶν πταισμάτων μου,

Ὠδὴ ε΄. Τῷ θείῳ φέγγει σου.

Πρὸς μετανοίας τὴν ἀγαθὴν, ὁδόν τε καὶ τρίβον ταῖς λιταῖς, τῶν σῶν Ὁσίων κατεύθυνον, Ἰησοῦ Σωτήρ μου ὁ εἰς τὸν Κόσμον ἐλθὼν, ἁμαρτωλοὺς καλέσαι ὧν πρῶτος πέφυκα.

Νικῆτα θεῖε σὺν Ἰωσὴφ, ἅμα Ἰωάννῃ τῷ κλεινῷ, ἀρχὴν βαλεῖν μοι δωρήσασθε, ζωῆς ἐν μετα-

νοίᾳ



νοίᾳ καὶ τὸ ὑπόλοιπον, τοῦ βίου διανύσαι ἐνθέως στάδιον.

Ὡς παῤῥησίαν πρὸς τὸν Θεὸν, ἔχοντες Πατέρες Ἱεροὶ, αὐτὸν ἐμοὶ ἱλεώσατε, ταῖς πανευπροσδέκτοις ὑμῶν δεήσεσιν, ὅπως μοι μετανοίας καιρὸν δωρήσητε.

Θεοτοκίον.

Τῷ θείῳ φέγγει σου ἀγαθὴ, φώτισον κἀμοῦ τοὺς ὀφθαλμοὺς, ἐσκοτισμένους τοῖς πάθεσι, ῥῦσαί με Δαιμόνων αἰχμαλωσίας πικρᾶς, καυχῶνται γὰρ ὁρῶντές με ἀπροστάτευτον.

Ὠδὴ ς΄. Τοῦ βίου τὴν θάλασσαν.

Ἀμέσως οὐ κέκτημαι, παῤῥησίαν ἐξαιτεῖν, ἁμαρτιῶν τὴν ἄφεσιν, καὶ βίου τὴν διόρθωσιν τοῦ λοιποῦ, δι' ὅπερ προσάγω σοι, λυτρωτὰ τοὺς Ὁσίους μεσιτεύοντας.

Τριὰς ἡ τὸν Κύριον, θεραπεύσασα καλῶς, ἀγῶσι τῆς ἀσκήσεως, νηστείαις καὶ δεήσεσι καὶ πολλῶν, ἱδρώτων ταῖς χύσεσι, τῶν Ὁσίων ὑπὲρ ἐμοῦ ἱκέτευε.

Τὰ πάθη νεκρώσαντες, ὦ Νικῆτα θαυμαστέ, καὶ Ἰωάννη πάνσεπτε, σὺν Ἰωσὴφ τῷ θείῳ δότε κἀμοῦ, τῶν παθῶν τὴν νέκρωσιν, τῇ δυνάμει τῶν θείων πρεσβειῶν ὑμῶν.

Θαυμάστωσον Κύριε, ἐπ᾽ ἐμὲ τὸν ταπεινόν, τὸ πλούσιόν σου ἔλεος, ὁ σῴζων τοὺς ἐλπίζοντας ἐπὶ σέ, καὶ βίου διόρθωσιν, παράσχε μοι πρεσβείαις τῶν Ὁσίων σου.

Ἴδε τὴν ταπείνωσιν, συντριβήν τε τῆς ἐμῆς, ψυχῆς καὶ μὴ ἀπώσῃ με, ἀλλὰ συγγνώμην δίδου μοι τῶν πολλῶν, πταισμάτων ὡς εὔσπλαγχνος, Ἰησοῦ μου Μητρός σου ταῖς ἐντεύξεσιν.

ᾨδὴ ζ΄. Δροσοβόλον μὲν τὴν κάμινον.

Ὡς ἐμάρανας Χριστὲ τὴν ὑπερβάλλουσαν, ἐν τῇ κα

μίνῳ

www.tezaurliturgic.ro



μίνῳ φλόγα ποτέ, οὕτως εὔσπλαγχνε, μάρανον τὴν φλόγα τῶν ἐμῶν, παθῶν τῶν καταφλεγόντων με ἀεί, τῶν σῶν Ὁσίων εὐπροσδέκτοις παρακλήσεσι.

Τῷ θυμῷ σου μὴ ἐλέγξῃς με μακρόθυμε, μηδὲ καταδικάσῃς με εἰς πῦρ, ἀλλ᾽ οἰκτείρησον τῶν σῶν θεραπόντων ταῖς εὐχαῖς, ἵνα κἀν τῷ βήματι τῷ σῷ, τῷ ἀδεκάστῳ παραστῶ ἀναπολόγητος.

Ἱκετεύοντας Σωτήρ μου πολυέλεε, πρόσδεξαι τοὺς Ὁσίους τοὺς σούς, ἐκ κολάσεως αἰωνίου με καὶ τοῦ πυρὸς, ἐκλύτρωσαι καὶ τῆς οὐρανῶν, χαρᾶς ἀλήκτου καταξίωσον ὡς εὔσπλαγχνος.

Θεοτοκίον.

Ἐπὶ σοὶ τὴν πᾶσαν Δέσποινα ἐλπίδα μου, ἀνέθηκα ὁ ἄσωτος, μὴ ἀποστρέψῃς ἀπ᾽ ἐμοῦ τὸ πρόσωπόν σου νῦν, μὴ σπλάγχνα φιλάνθρωπα τὰ σά, μὴ κλείσῃς μου Μῆτερ τοῦ Θεοῦ, ἀλλὰ βοήθει μοι.

Ὠδὴ, ή. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Τοὺς ἐν Κόσμῳ θορύβους ἀποκρουσάμενοι, ἡσυχίας τῷ ἔρωτι πανναοίδιμοι. γῆς ἐν ταῖς ὀπαῖς, καὶ σπηλαίοις καὶ ὄρεσιν, ἅπαντα τὸν βίον ἠνύσατε προθύμως.

Προστασίαν καὶ σκέπην καὶ τὴν ἀντίληψιν, τὴν ὑμῶν ἐξαιτοῦμαι Πατέρες Ὅσιοι, θεῖε Ἰωσὴφ, Ἰωάννη ἀοίδιμε, καὶ Νικῆτα μάκαρ, ἐν ὅλῳ μου τῷ βίῳ.

Καθ᾽ ἑκάστην ὁ τάλας τοῖς ἁμαρτήμασι, περιπίπτω ἀφρόνως, γνώμης φαυλότητι, νῦν δὲ τῇ ὑμῶν, Θεοφόροι παρίσταμαι, εἰκόνι κραυγάζων, τούτων λυτρώσασθέ με. Θεοτοκίον.

Μή με στήσῃς ἐν ὥρᾳ Δέσποτα Κρίσεως, μετὰ τῶν κατακρίτων ὄντα κατάκριτον, ἀλλὰ τὸν μικρὸν

στενα-

www.tezaurliturgic.ro



στεναγμόν μου δεξάμενος. σῶσόν με πρεσβείαις τῆς σῆς Μητρὸς οἰκτίρμον.

Ὠδὴ, θ΄. Θεὸν ἀνθρώποις.

Πολλοῖς ἀσκήσεως πόνοις Ἅγιοι, παθῶν σαρκὸς ὁρμὰς, ὁλοτελῶς ἐνεκρώσατε, διὰ τοῦτο δέομαι Πατέρες σεπτοὶ, πάσας ἐπαναστάσεις κατακοιμήσατε, τῶν ἐμῶν παντοίων, τῆς σαρκὸς παθῶν εὐχαῖς ὑμῶν.

Ὠδὴν ἱκέσιον μὴ ἀπώσῃ μου, τριὰς σεπτὴ Ὁσίων, ἀλλὰ πρόσχες καὶ δέξαι μου, τὴν ἀπὸ χειλέων ῥυπαρῶν προσευχὴν, καὶ τὰ πρὸς Σωτηρίαν δίδου αἰτήματα, ταῖς πρὸς τὸν Δεσπότην, καὶ Θεὸν ὑμῶν δεήσεσι.

Τὴν πενιχρὰν μου ταύτην παράκλησιν, ἐκ στόματος βεβήλου ἐνεχθεῖσαν δεξάμενοι, πρὸς ὑμᾶς θεόφρονες προστάται θερμοὶ, φάνητέ μοι ἐν βίῳ καὶ ἀντιλήπτορες, καὶ πρὸς Σωτηρίας, ἀπλανεῖς ὁδοὺς εὐθύ-

νατε.

## Θεοτοκίον.

Στρατὸς Μαρτύρων, Ὁσίων σύλλογος, Ἱεραρχῶν Πατέρων Προφητῶν Ἀποστόλων τε, τῶν Ἁγίων Ἀγγέλων τὰ τάγματα, μετὰ τῆς σὲ τεκούσης ἐκδυσωποῦσί σε, σῶσον ἡμᾶς οἴκτειρον Χριστὲ ὡς πολυέλεος.

## Μεγαλυνάρια.

Ὡς ἡμῶν προστάτας καὶ πρὸς Θεὸν, πρέσβεις θερμοτάτους, ἀνευφημοῦμεν ὑμᾶς σεπτοὶ, Πάτερ Ἰωάννη, σὺν τῷ κλεινῷ Νικήτᾳ, Ἰωσήφ τε τῷ θείῳ καὶ μεγαλύνωμεν.

Τοὺς ἐκ πόθου πάντας τῇ ἱερᾷ, ὑμῶν ἀντιλήψει, καταφεύγοντας ἐκ παθῶν, λυτροῦσθε παντοίων Πατέρες Θεοφόροι, ψυχῶν τε καὶ σωμάτων Χριστῷ πρεσβεύοντες.